Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: agy-ab

*Σημωνίδης ὁ Ἀμοργῖνος* · Semonides of Amorgos

# On the Uncertainty of Human Life

*Ἀποσπάσματα*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Ἰωνική* Ionic (ia, frg)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1.1 ὦ παῖ, τέλος μὲν Ζεὺς ἔχει βαρύκτυπος πάντων ὅς᾽ ἐστὶ καὶ τίθης᾽ ὅκηι θέλει, νοῦς δ᾽ οὐκ ἐπ᾽ ἀνθρώποισιν, ἀλλ᾽ ἐπήμεροι ἃ δὴ βοτὰ ζόουσιν, οὐδὲν εἰδότες ὅκως ἕκαστον ἐκτελευτήσει θεός. ἐλπὶς δὲ πάντας κἀπιπειθείη

book 1.2 τρέφει ἄπρηκτον ὁρμαίνοντας· οἱ μὲν ἡμέρην μένουσιν ἐλθεῖν, οἱ δ᾽ ἐτέων

book 1.3 περιτροπάς· νέωτα δ᾽ οὐδεὶς ὅστις οὐ δοκεῖ βροτῶν Πλούτωι

book 1.4 τε κἀγαθοῖσιν ἵξεσθαι φίλος. φθάνει δὲ τὸν μὲν γῆρας ἄζηλον λαβὸν

book 1.5 πρὶν τέρμ᾽ ἵκηται, τοὺς δὲ δύστηνοι βροτῶν

book 1.6 φθείρουσι νοῦσοι, τοὺς δ᾽ Ἄρει δεδμημένους πέμπει μελαίνης Ἀΐδης ὑπὸ χθονός·

book 1.1 οἱ δ᾽ ἐν θαλάσσηι λαίλαπι κλονεόμενοι καὶ κύμασιν

book 1.2 πολλοῖσι

book 1.3 πορφυρῆς ἁλὸς θνήσκουσιν, εὖτ᾽ ἂν μὴ δυνήσωνται ζόειν· οἱ δ᾽ ἀγχόνην ἅψαντο δυστήνωι μόρωι καὐτάγρετοι λείπουσιν ἡλίου φάος. οὕτω κακῶν ἄπ᾽ οὐδέν, ἀλλὰ μυρίαι βροτοῖσι κῆρες κἀνεπίφραστοι δύαι καὶ πήματ᾽ ἐστίν. εἰ δ᾽ ἐμοὶ πιθοίατο, οὐκ ἂν κακῶν ἐρῷμεν, οὐδ᾽ ἐπ᾽ ἄλγεσιν κακοῖς ἔχοντες θυμὸν αἰκιζοίμεθα.

book 2.1 τοῦ μὲν θανόντος οὐκ ἂν ἐνθυμοίμεθα, εἴ τι

book 2.2 φρονοῖμεν, πλεῖον ἡμέρης μιῆς.

book 3.1 πολλὸς γὰρ ἥμιν ἐστὶ τεθνάναι

book 3.2 χρόνος, ζῶμεν δ᾽ ἀριθμῶι

book 3.3 παῦρα κακῶς ἔτεα.

book 4 πάμπαν δ᾽ ἄμωμος οὔ τις οὐδ᾽ ἀκήριος.

book 5.1 ἄθηλος ἵππωι πῶλος ὣς ἅμα

book 5.2 τρέχ–

book 6.1 γυναικὸς οὐδὲν

book 6.2 χρῆμ᾽ ἀνὴρ ληΐζεται ἐσθλῆς ἄμεινον οὐδὲ ῥίγιον κακῆς.

book 7.1 χωρὶς γυναικὸς θεὸς ἐποίησεν νόον τὰ πρῶτα. τὴν μὲν ἐξ ὑὸς

book 7.2 τανύτριχος, τῆι πάντ᾽ ἀν᾽ οἶκον βορβόρωι

book 7.3 πεφυρμένα ἄκοσμα κεῖται καὶ κυλίνδεται

book 7.4 χαμαί·[ln_5]αὐτὴ δ’ ἄλουτος ἀπλύτοις ἐν εἵμασιν ἐν κοπρίηισιν ἡμένη

book 7.5 πιαίνεται. [para]τὴν δ’ ἐξ ἀλιτρῆς θεὸς ἔθηκ’ ἀλώπεκος γυναῖκα πάντων ἴδριν· οὐδέ μιν κακῶν λέληθεν οὐδὲν οὐδὲ τῶν ἀμεινόνων·[ln_10]τὸ μὲν γὰρ αὐτῶν εἶπε

book 7.6 πολλάκις κακόν, τὸ δ’ ἐσθλόν· ὀργὴν δ’ ἄλλοτ’ ἀλλοίην ἔχει. [para]τὴν δ’ ἐκ κυνός, λιτοργόν, αὐτομήτορα, ἣ πάντ’ ἀκοῦσαι, πάντα δ’ εἰδέναι θέλει, πάντηι δὲ παπταίνουσα καὶ πλανωμένη[ln_15]λέληκεν, ἣν καὶ μηδέν’ ἀνθρώπων ὁρᾶι. παύσειε δ’ ἄν μιν οὔτ’ ἀπειλήσας ἀνήρ, οὐδ’ εἰ χολωθεὶς ἐξαράξειεν λίθωι ὀδόντας, οὐδ’ ἂν μειλίχως μυθεόμενος, οὐδ’ εἰ παρὰ ξείνοισιν ἡμένη τύχηι,

book 7.1 [ln_20]ἀλλ’ ἐμπέδως ἄπρηκτον αὑονὴν ἔχει. [para]τὴν δὲ πλάσαντες γηΐνην Ὀλύμπιοι ἔδωκαν ἀνδρὶ πηρόν· οὔτε γὰρ κακὸν οὔτ’ ἐσθλὸν οὐδὲν οἶδε

book 7.2 τοιαύτη γυνή· ἔργων δὲ μοῦνον ἐσθίειν ἐπίσταται.[ln_25]κὤταν κακὸν

book 7.3 χειμῶνα

book 7.4 ποιήσηι θεός, ῥιγῶσα δίφρον ἄσσον ἕλκεται

book 7.5 πυρός. [para]τὴν δ’ ἐκ θαλάσσης, ἣ δύ’ ἐν

book 7.6 φρεσὶν νοεῖ· τὴν μὲν γελᾶι

book 7.7 τε καὶ γέγηθεν ἡμέρην· ἐπαινέσει μιν ξεῖνος ἐν δόμοις ἰδών·

book 7.1 [ln_30]“οὐκ ἔστιν ἄλλη τῆσδε λωΐων γυνὴ ἐν πᾶσιν ἀνθρώποισιν οὐδὲ καλλίων”· τὴν δ’ οὐκ ἀνεκτὸς οὐδ’ ἐν ὀφθαλμοῖς ἰδεῖν οὔτ’ ἄσσον ἐλθεῖν, ἀλλὰ μαίνεται τότε ἄπλητον ὥσπερ ἀμφὶ τέκνοισιν κύων,[ln_35]ἀμείλιχος δὲ πᾶσι κἀποθυμίη ἐχθροῖσιν ἶσα καὶ φίλοισι γίνεται· ὥσπερ θάλασσα

book 7.2 πολλάκις μὲν ἀτρεμὴς ἕστηκ’, ἀπήμων, χάρμα ναύτηισιν μέγα, θέρεος ἐν ὥρηι, πολλάκις δὲ μαίνεται[ln_40]βαρυκτύποισι κύμασιν

book 7.3 φορεομένη. ταύτηι μάλιστ’ ἔοικε

book 7.4 τοιαύτη γυνὴ ὀργήν· φυὴν δὲ πόντος ἀλλοίην ἔχει. [para]τὴν δ’ ἔκ τε

book 7.5 σποδιῆς καὶ παλιντριβέος ὄνου, ἣ σύν τ’ ἀνάγκηι σύν τ’ ἐνιπῆισιν μόγις[ln_45]ἔστερξεν ὦν ἅπαντα κἀπονήσατο ἀρεστά· τόφρα δ’ ἐσθίει μὲν ἐν μυχῶι

book 7.6 προνὺξ

book 7.7 προῆμαρ, ἐσθίει δ’ ἐπ’ ἐσχάρηι. ὁμῶς δὲ καὶ πρὸς ἔργον ἀφροδίσιον ἐλθόντ’ ἑταῖρον ὁντινῶν ἐδέξατο.

book 7.1 τὴν δ’ ἐκ γαλῆς, δύστηνον οἰζυρὸν γένος· κείνηι γὰρ οὔ τι καλὸν οὐδ’ ἐπίμερον

book 7.2 πρόσεστιν οὐδὲ τερπνὸν οὐδ’ ἐράσμιον. εὐνῆς δ’ ἀδηνής ἐστιν ἀφροδισίης, τὸν δ’ ἄνδρα τὸν

book 7.3 περῶντα ναυσίηι διδοῖ.[ln_55]κλέπτουσα δ’ ἔρδει

book 7.4 πολλὰ γείτονας κακά, ἄθυστα δ’ ἱρὰ πολλάκις κατεσθίει. [para]τὴν δ’ ἵππος ἁβρὴ χαιτέεσσ’ ἐγείνατο, ἣ δούλι’ ἔργα καὶ δύην

book 7.5 περιτρέπει, κοὔτ’ ἂν μύλης

book 7.6 ψαύσειεν, οὔτε κόσκινον[ln_60]ἄρειεν, οὔτε κόπρον ἐξ οἴκου βάλοι, οὔτε

book 7.7 πρὸς ἰπνὸν ἀσβόλην ἀλεομένη ἵζοιτ’. ἀνάγκηι δ’ ἄνδρα

book 7.8 ποιεῖται φίλον· λοῦται δὲ πάσης ἡμέρης ἄπο ῥύπον δίς, ἄλλοτε

book 7.9 τρίς, καὶ μύροις ἀλείφεται,

book 7.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[ln_65]αἰεὶ δὲ χαίτην ἐκτενισμένην

book 7.2 φορεῖ βαθεῖαν, ἀνθέμοισιν ἐσκιασμένην. κᾶλὸν μὲν ὦν θέημα

book 7.3 τοιαύτη γυνὴ ἄλλοισι, τῶι δ’ ἔχοντι γίνεται κακόν, ἢν μή τις ἢ τύραννος ἢ σκηπτοῦχος ἦι, [ln_70]ὅστις

book 7.4 τοιούτοις θυμὸν ἀγλαΐζεται. [para]τὴν δ’ ἐκ

book 7.5 πιθήκου· τοῦτο δὴ διακριδὸν Ζεὺς ἀνδράσιν μέγιστον ὤπασεν κακόν. αἴσχιστα μὲν

book 7.6 πρόσωπα· τοιαύτη γυνὴ εἶσιν δι’ ἄστεος πᾶσιν ἀνθρώποις γέλως·

book 7.1 [ln_75]ἐπ’ αὐχένα βραχεῖα· κινεῖται μόγις· ἄπυγος, αὐτόκωλος. ἆ τάλας ἀνὴρ ὅστις κακὸν

book 7.2 τοιοῦτον ἀγκαλίζεται. δήνεα δὲ πάντα καὶ τρόπους ἐπίσταται ὥσπερ πίθηκος· οὐδέ οἱ γέλως μέλει·[ln_80]οὐδ’ ἄν

book 7.3 τιν’ εὖ ἔρξειεν, ἀλλὰ τοῦτ’ ὁρᾶι καὶ τοῦτο πᾶσαν ἡμέρην βουλεύεται, ὅκως

book 7.4 τι κὼς μέγιστον ἔρξειεν κακόν. [para]τὴν δ’ ἐκ μελίσσης· τήν

book 7.5 τις εὐτυχεῖ λαβών· κείνηι γὰρ οἴηι μῶμος οὐ προσιζάνει,[ln_85]θάλλει δ’ ὑπ’ αὐτῆς κἀπαέξεται βίος, φίλη δὲ σὺν

book 7.6 φιλέοντι γηράσκει πόσει

book 7.7 τεκοῦσα καλὸν κὠνομάκλυτον γένος. κἀριπρεπὴς μὲν ἐν γυναιξὶ γίνεται πάσηισι, θείη δ’ ἀμφιδέδρομεν χάρις.

book 7.1 [ln_90]οὐδ’ ἐν γυναιξὶν ἥδεται καθημένη ὅκου λέγουσιν ἀφροδισίους λόγους. τοίας γυναῖκας ἀνδράσιν

book 7.2 χαρίζεται Ζεὺς τὰς ἀρίστας καὶ πολυφραδεστάτας· [para]τὰ δ’ ἄλλα φῦλα

book 7.3 ταῦτα μηχανῆι Διὸς[ln_95]ἔστιν

book 7.4 τε πάντα καὶ παρ’ ἀνδράσιν μενεῖ. Ζεὺς γὰρ μέγιστον

book 7.5 τοῦτ’ ἐποίησεν κακόν, γυναῖκας· ἥν

book 7.6 τι καὶ δοκέωσιν ὠφελεῖν ἔχοντι, τῶι μάλιστα γίνεται κακόν· οὐ γάρ κοτ’ εὔφρων ἡμέρην διέρχεται ἅπασαν, ὅστις σὺν γυναικὶ πέλεται, οὐδ’ αἶψα Λιμὸν οἰκίης ἀπώσεται, ἐχθρὸν

book 7.7 συνοικητῆρα, δυσμενέα θεῶν. ἀνὴρ δ’ ὅταν μάλιστα θυμηδεῖν δοκῆι κατ’ οἶκον, ἢ θεοῦ μοῖραν ἢ ἀνθρώπου χάριν,

book 7.1 [ln_105]εὑροῦσα μῶμον ἐς μάχην κορύσσεται. ὅκου γυνὴ γάρ ἐστιν οὐδ’ ἐς οἰκίην ξεῖνον μολόντα

book 7.2 προφρόνως δεκοίατο. ἥτις δέ τοι μάλιστα

book 7.3 σωφρονεῖν δοκεῖ, αὕτη μέγιστα

book 7.4 τυγχάνει λωβωμένη·[ln_110]κεχηνότος γὰρ ἀνδρός, οἱ δὲ γείτονες

book 7.5 χαίρουσ’ ὁρῶντες καὶ τόν, ὡς ἁμαρτάνει. τὴν ἣν δ’ ἕκαστος αἰνέσει μεμνημένος γυναῖκα, τὴν δὲ τοὐτέρου μωμήσεται· ἴσην δ’ ἔχοντες μοῖραν οὐ γινώσκομεν.

book 7.1 [ln_115]Ζεὺς γὰρ μέγιστον

book 7.2 τοῦτ’ ἐποίησεν κακόν, καὶ δεσμὸν ἀμφέθηκεν ἄρρηκτον πέδην, ἐξ οὗ τε

book 7.3 τοὺς μὲν Ἀΐδης ἐδέξατο γυναικὸς εἵνεκ’ ἀμφιδηριωμένους .......

book 8 ὥσπερ ἔγχελυς κατὰ γλοιοῦ.

book 9.1 ἐρωιδιὸς γὰρ ἔγχελυν Μαιανδρίην

book 9.2 τρίορχον εὑρὼν ἐσθίοντ’ ἀπείλετο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 10 τί ταῦτα διὰ μακρῶν λόγων ἀνέδραμον;
book 10a.1 καὶ μήτ’ ἄλουτος γαυρία σύ, μήτ’ ὕδωρ θαύμαζε, μηδὲ [κο]υρία γενειάδα, μηδὲ ῥύπωι
book 10a.2 χιτῶνος ἔντυε
book 10a.3 χρόα.
book 11.1 οἷόν
book 11.2 τε χηνὸς ὤεον Μαιανδρίου.
book 12 σπλάγχν’ ἀμπέχοντες αὐτίκ’ ἰκτίνου δίκην.
book 13.1 τὸ δ’ ἥμιν ἑρπετὸν
book 13.2 παρέπτατο τὸ ζωΐων κάκιστον ἔκτηται βίον.
book 14.1 οὐκ ἄν
book 14.2 τις οὕτω δασκίοις ἐν οὔρεσιν ἀνὴρ λέοντ’ ἔδεισεν οὐδὲ πάρδαλιν μοῦνος
book 14.3 στενυγρῆι
book 14.4 συμπεσὼν ἐν ἀτραπῶι.
book 15.1 θύννοισι
book 15.2 τευθίς, κωβιοῖσι κωρίδες.
book 16.1 κἀλειφόμην μύροισι καὶ θυώμασιν καὶ βακκάρι· καὶ γάρ
book 16.2 τις ἔμπορος
book 16.3 παρῆν.
book 17 καὶ τῆς ὄπισθεν ὀρσοθύρης ἠλσάμην.
book 18 καὶ σαῦλα βαίνων ἵππος ὣς κορωνίτης.
book 19.1 ἢ τυφλὸς ἤ τις
book 19.2 σκνιπὸς ἢ μόγις βλέπων.
book 20.1 Μαιάδος τόκωι· οὗτοι γὰρ ἀνδρῶν αἷμ’ ἔχουσι
book 20.2 ποιμένων.
book 21a.1 σὺν
book 21a.2 πορδακοῖσιν ἐκπεσόντες εἵμασιν,
book 21b.1 σὺν
book 21b.2 παρδακοῖσιν εἵμασιν
book 21b.3 σεσαγμένοις.
book 22.1 ⟨ἦ⟩ πολλὰ μὲν δὴ προυκπονέαι
book 22.2 Τηλέμβροτε,
book 23.1 ἐνταῦθα μέν
book 23.2 τοι
book 23.3 τυρὸς ἐξ Ἀχαΐης
book 23.4 Τρομίλιος θαυμαστός, ὃν κατήγαγον
book 24 κὼς ⟨ὗν⟩ ἀπεῦσα κὼς ἐμίστυλα κρέα ἱρωστί· καὶ γὰρ οὐ κακῶς ἐπίσταμαι
book 25.1 ἔδωκεν οὐδεὶς οὐδ’ ἀρυστῆρα
book 25.2 τρυγός.
book 26.1

ἀπὸ τράπεζαν εἶλε νιν
book 26.2 ποτήρια.
book 27 αὕτη δὲ φοξὴ χεῖλος Ἀργείη κύλιξ.
book 28.1 ὁπλὰς ἐκίνει τῶν ὀπισθίων
book 28.2 ποδῶν.
book 30 μηρίων δεδαυμένων.
book 31a.1 τὰ δ’ ἄλλα
book 31a.2 πεπλέ͜ατ͜αι ξύλα
book 41.1 ἐν εὐδετέω ὥσπερ Λέσβιος
book 41.2 Πρύλις.
book 42 ῥεῖα θεοὶ κλέπτουσιν ἀνθρώπων νόον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org